εἰς δημόσιον, ὥς φησιν ὁ Δημοσθένης, αἴτιός μοι γενόμενος ἐγγραφῆναι τὸ διπλοῦν τῷ δημοσίῳ, καὶ διὰ τοῦτο ἐγγεγραμμένοι οἱ καταδίκοι καὶ ὀφλόντες ἐζημιωμένοι τε ἐλέγοντο. Ὑφέληται.] ὑφαρπάζῃ. Φορμόν.] ψίαθον καὶ σπυρίδιόν τι.

Bisetus. Κἂν ἐκ θυρίδος] ἐνταῦθα φανερώτερον τὰ τῶν γυναικῶν ἤθη, καὶ συνήθεια χαρακτηρίζεται. αὗται τὴν κεφαλὴν ἐκ θυρίδος ἐξείρουσαι τοῦ εἰς τὰς ἀγυιὰς ἀποβλέπειν, κατὰ μικρόν, καὶ ἐν μέρει παρακύπτουσιν, εἶθ' ἑαυτὰς ἀναστέλλουσιν, ἵνα μὴ τῆς τῶν παρερχομένων ὄψεως ἐπιθυμῆσαι φαίνοιντο. Βάσανος] δοκιμασία. βάσανος λίθος λέγεται ἢ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν, καὶ Πίνδαρος, καὶ Σοφοκλῆς. Ὑπερείδης δὲ τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων, καὶ ἀναγραφομένων, βασάνους ὠνόμασε. καὶ παροιμία, Βάσανος λίθος, ἐπὶ τῶν ἐξεταζόντων ἐν λόγοις, ἢ ἔργοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. Σ. ἣν δὲ ἐνταῦθα Σαλαβακχὼ καλεῖ, ταύτην ἐν τοῖς Ἱππεῦσιν ὁ αὐτὸς Σαλαβάκχαν ὠνόμασε. τοῦτο δὲ ἦν ἐπισήμου πόρνης ὄνομα κύριον. Τὴν Μαραθῶνι] τὴν ἐν Μαραθῶνι. ταῦτα δὲ τῶν γυναικῶν ὀνόματα νῦν ἐπίτηδες πεπλασμένα δοκεῖ τοῦ δεῖξαι τὰς τοιαύτας γυναῖκας καὶ τοῖς ὀνόμασι, καὶ τοῖς ἔργοις τῶν ἀνδρῶν πολὺ βελτίους εἶναι. Τὴν βουλείαν] βουλεία, ὥς φησιν Ἁρποκρατίων, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. Ἄλλως. Βουλεία, ἡ τοῦ βουλευτηρίου, καὶ τοῦ βουλεύειν ἀρχή. Οὐδ' ἂν κλέψασα γυνή] ἐπειδήπερ ἐν ὅλῃ τῇδε τῇ παραβάσει ὁ χορὸς περὶ τοῦτο μάλιστα σπουδάζει, ὡς ἀποδείξῃ τὰ τῶν γυναικῶν κακουργήματα καθόλου πολὺ μείω εἶναι, τὰ δ' ἀνδραγαθήματα πολὺ μείζω, ἢ τὰ τῶν ἀνδρῶν, μερικῶς νῦν τῶν κλοπῶν μνημονεύων, ταῦτα λέγει. ἡ δὲ σύνταξις αὕτη. οὐδ' ἐὰν γυνὴ κλέψασα φεύγῃ, κατὰ πεντήκοντα τάλαντα τῶν δημοσίων ἐς πόλιν ἂν ἔλθοι. τουτέστιν ἡ αὐτῆς κλοπὴ εἰς τοσοῦτο τιμήματος οὐκ ἂν ἥκοι. ἀλλ' ἣν τὰ μέγιστα ὑφέληται, φορμὸν πυρῶν τοῦ ἀνδρὸς κλέψασα αὐθημερὸν αὐτὸ ἀπέ-

A δωκεν. τὸ δημοσίων οὖν προσετέθη πρὸς τὴν τοῦ ἁμαρτήματος αὔξησιν. ὥσπερ εἰ λέγοι, εἴ τις τὰς γυναῖκας πρὸς ἄνδρας ἀκριβῶς ἐξετάσειεν, εὑρήσει τὰς γυναῖκας οὐ κλεπτούσας κλοπάς, οἵας οἱ τῶν ἀνδρῶν κλέπτειν φιλοῦσιν. ἀλλὰ τὰς τῶν ἀνδρῶν, μεγίστας, καὶ ἀξιολόγους. τὰς δὲ τῶν γυναικῶν, ἐλαχίστας, οὐδ' ἀξιομνημονεύτους. νῦν δὲ κλέψασα φεύγει, καὶ κλοπῆς κατηγορεῖται, ταυτόν. καὶ γὰρ ὁ φεύγων, κατηγορούμενος λέγεται. ἐν δὲ πᾶσι τοῖς μέχρι τοῦδε ἀντιγράφοις διεφθαρμένως ζεύγῃ, ἀντὶ τοῦ φεύγῃ, γράφεται. Φορμὸν
B πυρῶν τ' ἀνδρὸς κλέψασα] τ' ἀνδρός, τὸ πλῆρες, τοῦ ἀνδρός. νῦν δὲ διὰ τῆς δὲ τῆς κλοπῆς τὴν μοιχείαν χαριέντως δηλοῦν φαίνεται. φορμός, κυρίως ἀγγεῖόν τι πλεκτὸν ἐκ ψιάθων, ὡς κόφινος. καὶ κατὰ Σουΐδαν φορμός, ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθασιν ἰσχάδας κομίζεσθαι. πυρὸς δὲ, ἡ κριθή, παρὰ τοῖς Κωμικοῖς πολλάκις ἀσελγεστέραν ἔχει σημασίαν, καὶ τὸ δεῖνα ὑποδηλοῖ, οὗπερ αἱ γυναῖκες τυχοῦσαι μάλιστα χαίρουσιν. ὡς ἐν τῇ Εἰρήνῃ.

Οὐκ ἔστιν οὐδείς, ὅστις οὐ κριθὴν ἔχει.

τὰ σχόλια. πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν
C αἰδοῖον, κριθὴν ἔλεγον. ἐνταῦθα τοίνυν καὶ φορμός, καὶ πυρὸς κωμικῶς ληπτέα. καὶ τὸ μὲν πρὸς τὸ γυναικεῖον, τὸ δὲ πρὸς τὸ ἀνδρεῖον αἰδοῖον ἀνοιστέον. ὁ δὲ νοῦς οὗτος. εἴπερ ποτὲ μοιχευθεῖσα ἡ γυνὴ ποῖ πορεύεται, καὶ ἑαυτὴν τῷ αὐτῆς ἀνδρὶ λάθρα πρὸς ὀλίγον ὑφαιρεῖ, οὐδὲν ὅμως ἐντεῦθεν οὔτε τῶν δημοσίων, οὔτε τῶν τοῦ ἀνδρὸς χρημάτων μειοῦται. αὐθημερὸν γὰρ οἴκαδε ἐπαναστραφεῖσα τὸ ἀνῃρημένον ἐπαναφέρει, καὶ ἀποδίδωσιν. αὔτ' ἀπέδωκεν δὲ ἀντὶ τοῦ, αὐτὸ ἀπέδωκεν, ὃ πρὸς τὸ σημαινόμενον δεῖ ἀναφέρειν, τουτέστιν αὐτὸ τοῦτο, ὅπερ ἔκλε-
D ψεν. αἰνίττεται δὲ τὸ μέρος, ἐν ᾧπερ αἱ γυναῖκες τρυφὰς ποιοῦνται. ἐνταῦθα δὲ παρατηρητέον ὅτι Ἀριστοφάνης γελοίως, καὶ δὴ καὶ πανούργως ἐξ ἔθους τὰ τῶν γυναικῶν πλημμελήματα μειοῦν προσποιούμενος ταῦτα μᾶλλον αὔξει, καὶ βαρύτερα ἀποδείκνυσι. καὶ γὰρ τὸ τῆς μοιχείας ἔγκλημα μεῖζον καὶ αἴσχιον, ἢ τὸ τῆς κλοπῆς, καὶ τὰς γυναῖκας μᾶλλον αἰσχύνει.

Ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
Ἀποδείξομεν ταῦτα ποιοῦντας,
Καὶ πρὸς τούτοις γαστρίδας ἡμῶν
Ὄντας μᾶλλον, καὶ λωποδύτας.
Καὶ βωμολόχους κἀνδραποδιστάς.
Καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε
Χείρους ἡμῶν εἰσὶν σώζειν.
Ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
Ταὐτίον. ὁ κανών. οἱ καλαθίσκοι
Τὸ σκιάδειον.
Τοῖς δ' ἡμετέροις ἀνδράσιν τούτοις,
Ἀπόλωλε μὲν πολλοῖς ὁ κανὼν
Ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ.
Πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
Ἐν ταῖς στρατιαῖς
Ἔρριπται τὸ σκιάδειον.

*Sed nos multos ex his*
*Ostenderemus hæc facientes,*
E *Et ad hæc helluones vobis*
*Existentes magis, & fures,*
*Et scurras, & prædones.*
*Et quidem profectò etiam paterna quidem bona*
*Peiores nobis sunt seruare.*
*Nobis enim salua adhuc etiam nunc est*
*Phiala, regula vel calamistrus, quasilli,*
*Vmbella.*
*Nostris autem viris his*
F *Periit quidē multis lorum & retinaculum scuti*
*E domibus cum ipsa lancea:*
*Multis verò alijs ab humeris*
*In militijs*
*Proiectum est scutum.*

Bisetus. Ἀλλ' ἡμεῖς] στίχοι μικτοὶ ιϛ'.

Bour. Γαστρίδας] περὶ τὴν γαστέρα ἀκρατεῖς καὶ ἀμέτρους μᾶλλον. Καὶ λωποδύτας.] λῶπος ἱμάτιον, ἔνθεν λωποδύται οἱ τῶν ἱματίων κλέπται, καὶ κλέπτειν ἱμάτια τὸ λωποδυτεῖν. Καὶ βωμολόχους] καὶ πανούργους κόλακας τε καὶ εὐτελεῖς πᾶν ποιοῦντας ὑπὲρ τοῦ κέρδος τι αἰσχρὸν λαβεῖν καὶ συναλείφειν. βωμόλοχοι δὲ λέγονται ὥσπερ οἱ περὶ τοὺς βωμοὺς λοχῶντες ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. Ἀνδραποδιστάς.] τοὺς ἀνδραποδιζομένους, τοὺς ἀποδο-

μένους ἄνδρας. καὶ τούτῳ τῷ ῥήματι χρῶνται ὡς ἐπὶ τὸ πλεῖστον οἱ ποιηταὶ πρὸς τὸ δεικνύναι τὴν εὐτέλειαν, καὶ αἰσχροκέρδειάν τινος ἀνθρώπου. καὶ γὰρ ἀνδραποδισταὶ ἐκαλοῦν-
G το, οἵπερ τοὺς ἐλευθέρους ἄνδρας ἐπεδίδοντο καὶ ἐπίπρασκον, ὅπερ οὐκ ἦν θέμις κατὰ νόμους παλαιούς. Χείρους εἰσὶν σώζειν.] καί τοί εἰσιν ἀφρονέστεροι καὶ ἀπερισκεπτότεροι πρὸς τὸ σώζειν τὰ πατρῷα. Ταὐτίον.] τουτέστι τοὐναντίον. Κανών.] πρὸς τὸ διορθοῦν καὶ λυσοῦσθαι τὰς τρίχας γυναικῶν. Οἱ καλαθίσκοι.] οἱ μικροὶ κάλαθοι.